πλάσμα ὁποῖον ἦν καὶ τὸ πρότερον. Ἀλλὰ μὴν κατὰ τοὺς Στωϊκούς, ἐκ τῆς τῶν τεσσάρων στοιχείων κράσεως γινομένου τοῦ σώματος, καί, διαλυομένου τοὺτου εἰς τὰ τέσσαρα, παραμενόντων τούτων ἀφθάρτων, δυνατόν ἐστι πάλιν τὰ τέσσαρα στοιχεῖα, τὴν αὐτὴν μῖξιν καὶ κρᾶσιν λαβόντα ἀπὸ τοῦ δι' αὐτῶν διήκοντος Θεοῦ, ποιῆσαι ὃ πρότερον πεποιήκει σῶμα· ὥσπερ, εἴ τις ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοὺ καὶ κασσιτήρου ποιήσει μῖγμα, ἔπειτα θελήσει πάλιν διαλῦσαι, ὥστε κατ' ἰδίαν ἕκαστον εἶναι, καὶ πάλιν, εἰ θελήσει, μίξας τὰ αὐτὰ ποιήσει ὃ πρότερον πεποιήκει ἐξ αὐτῶν μῖγμα. Καὶ κατὰ τὸν Ἐπίκουρον δέ, τῶν ἀτόμων ἀφθάρτων οὐσῶν καὶ τοῦ κενοῦ, παρὰ τὴν ποιὰν τάξιν καὶ θέσιν τῶν ἀτόμων συντεθειμένων γίνεται τά τε ἄλλα συγκρίματα καὶ τὸ σῶμα, χρόνῳ δὲ διαλυόμενον διαλύεται πάλιν εἰς τὰς ἀτόμους, ἐξ ὧν καὶ ἐγένετο. Τούτων μὲν οὐσῶν ἀφθάρτων, οὐδὲν ἀδύνατόν ἐστι, συνελθουσῶν πάλιν καὶ τὴν αὐτὴν θέσιν καὶ τάξιν λαβουσῶν, ποιῆσαι ὃ πρότερον ἐγεγόνει ἐξ αὐτῶν σῶμα καὶ ὅμοιον· ὥσπερ, εἴ τις ψηφοθέτης ἐκ ψηφίδων ποιήσει ζώου μορφήν, ἔπειτα τούτων ἀπὸ χρόνου διαλυθέντων ἢ ὑπ' αὐτοῦ τοῦ ποιήσαντος, τὰς αὐτὰς ἔχων ψήφους, ἐσκορπισμένας συνάγων, οὐκ ἀδυνατήσει συλλέξας αὐτὰς καὶ διαθεὶς ὁμοίως ποιῆσαι τὸ αὐτὸ εἶδος τοῦ ζώου. Ὁ δὲ Θεὸς ἀναλυθέντα τὰ μέλη τῆς σαρκὸς ἀπ' ἀλλήλων οὐ

materia, volver a recrear nuevamente el modelo destruido que surgió a partir de ella y hacer la misma figura tal cual era anteriormente. Por otra parte, según los Estoicos el cuerpo surge de la mezcla de los cuatro elementos, y cuando este se disuelve en los cuatro, dado que éstos permanecen indestructibles, es posible que los cuatro elementos reciban la misma fusión y mezcla de parte de Dios que está esparcido a través de ellos, y hacer de nuevo el cuerpo que ha creado antes. Es como si alguien hiciera una mezcla de oro, plata, bronce y estaño y luego quisiera separarlos de nuevo, de manera que cada uno esté en su estado particular; si quisiera, mezclándolos haría a partir de ellos la mezcla que hizo anteriormente. Pero según Epicuro, siendo los átomos y el vacío indestructibles, el cuerpo y todos los demás compuestos surgen de determinado orden y posición de los átomos combinados, y al momento de disolverse, se descompone nuevamente en los átomos a partir de los cuales surgió. Siendo éstos indestructibles no es imposible, al reunirlos de nuevo y darles el mismo orden y posición, hacer un cuerpo semejante al que fue creado antes a partir de ellos. Es como si alguien, con piedrecillas, hiciera un mosaico con la forma de un animal, y luego éstas fueran separadas por el paso del tiempo o por el mismo que lo hizo; reuniendo las que estaban dispersas, al tener las mismas piedras no le sería imposible volver a juntarlas y colocarlas del mismo modo para hacer la misma figura de animal. Pero Dios, al

δυνήσεται πάλιν συναγαγὼν ποιῆσαι τὸ αὐτὸ τῷ πρότερον γεγονότι ὑπ' αὐτοῦ σώματι; Ἀλλὰ γὰρ ὁ μὲν περὶ τοῦ δυνατὴν εἶναι τὴν τῆς σαρκὸς ἀνάστασιν ἱκανῶς ἀποδέδεικταί μοι λόγος κατὰ τοὺς ἐθνικούς. Εἰ δὲ κατὰ τοὺς ἀπίστους οὐχ εὑρίσκεται ἀδύνατος ἡ ἀνάστασις τῆς σαρκός, πόσῳ μᾶλλον κατὰ τοὺς πιστούς.

7. Ἑξῆς δὲ λεκτέον πρὸς τοὺς ἀτιμάζοντας τὴν σάρκα καὶ φάσκοντας μὴ ἀξίαν εἶναι τῆς ἀναστάσεως μηδὲ τῆς ἐπουρανίου πολιτείας· ὅτι πρῶτον αὐτῆς ἐστιν ἡ οὐσία γῆ, μετέπειτα δὲ καὶ μεστὴ γέγονε πάσης ἁμαρτίας, ὥστε καὶ τὴν ψυχὴν ἀναγκάσαι συναμαρτάνειν. Ἐοίκασι δὲ οὗτοι τὴν ὅλην τοῦ Θεοῦ πραγματείαν ἀγνοεῖν, καὶ τὴν ἐξ ἀρχῆς γένεσιν τοῦ ἀνθρώπου καὶ πλασιν, καὶ τὰ ἐν κόσμῳ ὧν ἕνεκα γέγονεν. Ἢ γὰρ οὔ φησιν ὁ λόγος· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; Ποῖον; Σαρκικὸν δῆλον ὅτι λέγει ἄνθρωπον. Φησὶ γὰρ ὁ λόγος· Καὶ ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασε τὸν ἄνθρωπον. Δῆλον οὖν ὡς κατ' εἰκόνα Θεοῦ πλασσόμενος ὁ ἄνθρωπος ἦν σαρκικός. Εἶτα πῶς οὐκ ἄτοπον τὴν ὑπὸ Θεοῦ σάρκα πλασθεῖσαν κατ' εἰκόνα τὴν ἑαυτοῦ φάσκειν ἄτιμον εἶναι καὶ οὐδενὸς ἀξίαν; Ὅτι δὲ τιμιον κτῆμα ἡ σὰρξ παρὰ Θεῷ δῆλον πρῶτον μὲν ἐκ

separarse las partes del cuerpo unas de otras, ¿no será capaz, reuniéndolas nuevamente, de hacer el mismo cuerpo que fue hecho por Él anteriormente? Pues bien, he demostrado suficientemente, de acuerdo a los [filósofos] paganos, el argumento acerca de que es posible la resurrección de la carne. Si los incrédulos reconocen que no es imposible la resurrección de la carne, ¡cuánto más los creyentes!

7. A continuación, hay que mencionar a los que desprecian la carne y sostienen que no es digna de la resurrección ni de la ciudadanía celestial porque, en primer lugar, la substancia de ella es tierra, y además, también ha sido creada llena de todo pecado, de modo que obliga al alma a pecar juntamente. Estos parecen ignorar toda la obra de Dios, la creación y modelado del hombre al principio, y las cosas del universo por razón de las cuales ha sido creado. ¿Acaso no dice la Palabra: *Hagamos al hombre a nuestra imagen y semejanza*[xiv]? ¿Qué clase [de hombre]? Es evidente que habla del hombre carnal. ¿Acaso no afirma la Palabra: *Y tomó Dios polvo de la tierra y formó al hombre*[xv]? Es evidente que el hombre modelado a imagen de Dios era carnal. Luego, ¿cómo no [ha de ser] absurdo sostener que la carne modelada por Dios a imagen de Él es despreciable y sin ningún valor? Que la carne es una cosa apreciable ante Dios es evidente, en primer lugar, por el

τοῦ πρὸς αὐτοῦ πεπλᾶσθαι, εἴ γε καὶ εἰκὼν τῷ πλάστῃ καὶ ζωγράφῳ τιμία γινομένη· καὶ ἐκ τῆς λοιπῆς δὲ κοσμοποιΐας μαθεῖν πάρεστιν· οὗ γὰρ ἕνεκεν γέγονε τὰ λοιπά, τοῦτο πάντων τῷ ποιήσαντι τιμιώτατον. Ναί, φασίν· ἀλλὰ ἁμαρτωλὸς ἡ σάρξ, ὥστε καὶ τὴν ψυχὴν ἀναγκάζειν συναμαρτάνειν αὐτῇ, μάτην κατηγοροῦντες αὐτῆς καὶ τὰ τῶν ἀμφοτέρων ἁμαρτήματα μόνῃ περιτιθέντες. Ποῦ γὰρ καθ' ἑαυτὴν ἁμαρτῆσεται ἡ σὰρξ δυνήσεται, ἐὰν μὴ τὴν ψυχὴν ἔχῃ προηγουμένην καὶ προκαλουμένην αὐτήν; Ὥσπερ γὰρ ζεῦγος βοῶν λυθέντων ἀπ' ἀλλήλων τοῦ ζυγοῦ τῶν βοῶν οὐδέτερος αὐτῶν κατ' ἰδίαν ἀροῦν δύναται, οὕτως οὐδὲ ψυχὴ καὶ σῶμα λυθέντα τῆς συζυγίας καθ'ἑαυτὰ ποιῆσαί τι δύνανται. Εἰ δὲ καὶ ἡ σὰρξ μόνη ἁμαρτωλός, μόνης ταύτης ἕνεκεν ἦλθεν ὁ Σωτήρ, καθώς φησιν· Οὐκ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Ἐπειδὴ οὖν τιμία παρὰ Θεῷ καὶ ἔνδοξος παρὰ πάντα τὰ ποιήματα δέδεικται ἡ σάρξ, δικαίως ἂν ὑπ' αὐτοῦ σωθήσεται.

8. Λεκτέον οὖν πρὸς τοὺς λέγοντας ὅτι, εἰ καὶ τὰ μάλιστα τοῦ Θεοῦ ποίημα τυγχάνει οὖσα καὶ τιμία αὐτῷ παρὰ πάντα, οὐκ εὐθέως καὶ τὴν ἐπαγγελίαν τῆς ἀναστάσεως ἔχει. Καίτοι πῶς οὐκ ἄτοπον τὸ μετὰ

hecho de haber sido modelada por Él, si es que al menos la imagen resulta apreciable para el escultor y pintor, y es posible reconocer [su valor] a partir de la creación del resto del mundo; pues en relación con las demás cosas que ha hecho, esta es la más valiosa de todas para el que la hizo. Ciertamente, dicen; pero la carne es pecaminosa, puesto que también obliga al alma a pecar junto con ella, acusándola sin fundamento y atribuyendo a ambos los pecados de una. Pues ¿de qué manera podría la carne pecar por sí misma si el alma no la precediese e incitase? Así como en una yunta de bueyes, al liberar del yugo uno de ellos, ninguno de los dos bueyes puede arar por separado, así tampoco el alma y el cuerpo, separadas de la unión entre ellas, son capaces de hacer algo. Y si la carne [fuera] la única pecaminosa, el Salvador vino únicamente a causa de ésta, según dijo: *No vine a llamar a los justos, sino a los pecadores al arrepentimiento*[xvi]. En efecto, ya que se ha demostrado que la carne es valiosa para Dios y gloriosa entre todas las cosas hechas, sería justamente salvada por Él.

8. Hay que mencionar a los que dicen que, aunque se encuentra entre las mejores obras de Dios y es valiosa para Él entre todas, no [se concluye] inmediatamente que tenga la promesa de la resurrección. Sin embargo, ¿cómo no va a ser absurdo que lo que fue hecho conforme a tan gran

| | |
|---|---|
| τηλικαύτης βουλῆς γενόμενον καὶ παρὰ πάντα τὰ λοιπὰ τίμιον περιορᾶν τὸν ποιήσαντα εἰς τὸ μηκέτι εἶναι; Εἶτα ὁ μὲν πλάστης καὶ ζωγράφος, εἰ τὰς εἰκόνας, ἃς ἂν ποιήσωσι, διαμένειν ἐθέλουσιν, ἵνα δι' αὐτῶν δοξάζωνται, φθειρομένας αὐτὰς ἀνακαινοποιοῦσιν· ὁ δὲ Θεὸς τὸ αὐτοῦ κτῆμα καὶ πλάσμα περιεῖδεν ἂν ὡς τὸ μὴ ὄν, μηκέτι δὲ καὶ εἰς τὸ εἶναι; Ματαιοπόνον ἀποκαλοῦμεν, ὥσπερ εἴ τις οἰκίαν οἰκοδομήσας ἔπειτα καταλύοι, ἢ καταλελυμένην περιορῴη, δυνάμεως ἀναστῆσαι· τὸν δὲ Θεὸν οὐκ αἰτιασόμεθα, ὅτι μάτην ποιεῖ; Ἀλλ' οὐχ ὁ ἄφθαρτος τοιοῦτος, οὐκ ἄφρων ὁ τῶν ὅλων πέφυκε νοῦς. Εὐφημείτωσαν οἱ ἄπιστοι, εἰ τὸ μὴ πιστεύειν ἔχουσιν αὐτοί! Ἀλλὰ μὴν καὶ κέκληκεν αὐτὴν ἐπὶ τὴν ἀνάστασιν καὶ ἐπαγγέλλεται τὴν αἰωνίαν ζωήν. Ἔνθα γὰρ τὸν ἄνθρωπον εὐαγγελίζεται σῶσαι, καὶ τῇ σαρκὶ εὐαγγελίζεται. Τί γάρ ἐστιν ὁ ἄνθρωπος, ἀλλ' ἢ τὸ ἐκ ψυχῆς καὶ σώματος συνεστὸς ζῶον λογικόν; Μὴ οὖν καθ' ἑαυτὴν ψυχὴ ἄνθρωπος; Οὔκ· ἀλλ' ἀνθρώπου ψυχή. Μὴ οὖν καλοῖτο σῶμα ἄνθρωπος; Οὔκ· ἀλλ' ἀνθρώπου σῶμα καλεῖται. Εἴπερ οὖν κατ' ἰδίαν μὲν τούτων οὐδέτερον ἄνθρωπός ἐστι, τὸ δὲ ἐκ τῆς ἀμφοτέρων συμπλοκῆς καλεῖται ἄνθρωπος, κέκληκε δὲ ὁ Θεὸς εἰς ζωὴν καὶ ἀνάστασιν τὸν ἄνθρωπον, οὐ τὸ μέρος ἀλλὰ τὸ ὅλον κέκληκεν, ὅπερ ἐστὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Ἐπεὶ πῶς οὐκ ἄτοπον, ἀμφοτέρων ὄντων κατὰ | designio y es valiosa entre todas las demás cosas creadas sea despreciada por el que la creó y [pase] a la nada? El escultor y el pintor, si quieren que las imágenes que han hecho se conserven para alcanzar fama por medio de ellas, las renuevan cuando se arruinan; ¿despreciaría Dios su posesión y modelo de manera que deje de existir y ya no sea más? A esto lo llamaríamos trabajar en vano, como si alguno construyera una casa y luego la destruyera, o viera con indiferencia que se ha derribado, siendo capaz de levantarla. ¿No acusaremos a Dios de obrar en vano? Pero el Incorruptible no es así, la Inteligencia que ha creado todo no es insensata. ¡Cállense los incrédulos, si ellos mismos insisten en no creer! Pero en verdad no solo la ha llamado a la resurrección sino también le promete la vida eterna. Pues en el momento en que anuncia la buena noticia de salvar al hombre, también lo anuncia a la carne. ¿Qué es, pues, el hombre, sino un ser racional compuesto de alma y cuerpo? ¿Es acaso un alma, por sí misma, un hombre? No, sino que es el alma de un hombre. ¿Acaso sería un cuerpo llamado un hombre? No, sino que es llamado un cuerpo de un hombre. En efecto, si ninguno de estos dos es propiamente un hombre, sino que la combinación de ambos es llamada "hombre", y Dios ha llamado al hombre a la vida y la resurrección, ha llamado no a la parte sino a la totalidad, la cual es el alma y el cuerpo. Por consiguiente, ¿cómo no [ha de ser] absurdo, estando ambos en la misma condición y en el mismo |

| | |
|---|---|
| τὸ αὐτὸ καὶ ἐν τῷ αὐτῷ, τὸ μὲν σώζειν, τὸ δὲ μή; Οὐκ ὄντος γὰρ ἀδυνάτου, καθάπερ δέδεικται, τὴν σάρκα ἔχειν την παλιγγενεσίαν, τίς ἡ διάκρισις, ὥστε τὴν μὲν ψυχὴν σώζεσθαι, τὴν δὲ σάρκα μή; Ἢ φθονερὸν ποιοῦσι τὸν Θεόν; Ἀλλὰ ἀγαθός ἐστι καὶ σώζεσθαι πάντας θέλει· καὶ δὴ αὐτοῦ καὶ τοῦ κηρύγματος αὐτοῦ οὐχὶ μόνον ἤκουσεν ἡ ψυχὴ ἡμῶν καὶ σὺν αὐτῇ ἡ σάρξ, καὶ ἐπίστευσαν εἰς Χριστὸν Ἰησοῦν, ἀλλ' ἀμφότερα ἐλούσαντο καὶ ἀμφότερα τὴν δικαιοσύνην εἰργάσαντο. Ἆρ' οὖν ἀχάριστον ἢ ἄδικον ἀποφαίνουσι τὸν Θεόν, εἰ τῶν ἀμφοτέρων πιστευόντων ἐπ' αὐτὸν τὴν μὲν σώζειν θέλει, τὴν δὲ οὔ; Ναί, φασίν· ἀλλ' ἡ μὲν ψυχή ἐστιν ἄφθαρτος, μέρος οὖσα τοῦ Θεοῦ καὶ ἐμφύσημα, καὶ διὰ τοῦτο τὸ ἴδιον καὶ συγγενὲς ἠθέλησεν σῶσαι· ἡ δὲ σὰρξ φθαρτὴ καὶ οὐκ ἀπ' αὐτοῦ καθάπερ ἡ ψυχή. Εἶτα τίς αὐτῷ χάρις; Καὶ τίς ἐπίδειξις τῆς δυνάμεως καὶ χρηστότητος αὐτοῦ, εἰ τὸ μὲν φύσει σωζόμενον καὶ μέρος ὑπάρχον αὐτοῦ σώζειν ἤμελλεν; Αὐτὸ γὰρ ἐξ ἑαυτοῦ εἶχε τὴν σωτηρίαν, ὥστε τὴν μὲν ψυχὴν σώζων οὐ μέγα ποιεῖ· τὸ γὰρ σώζεσθαι πάρεστιν αὐτῇ, ὅτι ἐστὶν αὐτοῦ μέρος, ἐμφύσημα αὐτοῦ οὖσα. Ἀλλ' οὐδὲ χάρις αὐτῷ τὸ ἴδιον σώζοντι· τοῦτο γάρ ἐστιν ἑαυτὸν σώζειν. Ὁ γὰρ τὸ μέρος αὐτοῦ σώζων δι' ἑαυτοῦ ἑαυτὸν σώζει, μή ποτε ἐκεῖνο τὸ μέρος ἐνδεὲς γένηται. Οὐκ ἔστιν ἀγαθοῦ τὸ τοιοῦτον. Οὐδὲ γὰρ ἄνθρωπον ἀγαθόν τις ἐρεῖ τὸν | hombre, salvar a uno y no al otro? Ya que no es imposible, según se ha demostrado, que la carne obtenga la regeneración, ¿quién [haría] la distinción, de manera que el alma sea salvada pero la carne no? ¿Acaso hacen a Dios envidioso? Pero Él es bueno y quiere que todos sean salvos; y no solo nuestra alma escuchó de Él su proclama y la carne junto con ella, y creyeron en Cristo Jesús, sino que ambas fueron lavadas y ambas revestidas de justicia. ¿Acaso no hacen parecer a Dios malévolo o injusto si, creyendo ambas en Él, quisiera salvar a una y a la otra no? Sin duda, dicen; pero el alma es incorruptible, ya que es parte e inspiración de Dios, y a causa de esto quiso salvar lo [que le era] propio y afín, en cambio la carne es corruptible y no es de Él, como el alma. Luego, ¿qué gratitud [se le debe] a Él? ¿Y qué demostración de su poder y bondad [sería] si destinó a salvarse lo que es salvo por naturaleza y existe como parte de Él? Pues esto posee la salvación por sí mismo, de manera que salvando el alma no hace gran cosa, pues el ser salva es su derecho, porque es parte de Él, siendo inspiración de Él; pero ninguna gratitud [se debe] a aquel que salva lo que es propio, pues está salvando aquello que es suyo. El que salva una parte de él se salva a sí mismo por medio de sí mismo, para no estar incompleto de aquella parte. Hacer tal cosa no es [propio] de [alguien] bueno. Tampoco se dice que un hombre haya hecho algo bueno al beneficiar a sus hijos y nietos, pues esto también lo hacen las más salvajes de las |

τοῖς τέκνοις αὐτοῦ καὶ ἐγγόνοις χαριζομενόν τι. Τοῦτο γὰρ καὶ τὰ ἀγριώτατα τῶν θηρίων ποιοῦσι· κἂν ὑπεραποθανεῖν τῶν ἐκγόνων αὐτῶν δέῃ, ἑκοντὶ τοῦτο ὑπομένουσιν. Εἰ δέ τις τὰ αὐτὰ τοῖς δούλοις παράσχοι, δικαίως ἂν οὗτος λέγοιτο ἀγαθός. Διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἐδίδαξεν ἡμᾶς ἀγαπᾶν τοὺς ἐχθρούς, ἐπεὶ τίς ὑμῖν χάρις; Φησίν· Ὥστε δέδειχεν ἡμῖν ἀγαθὸν ἔργον εἶναι τὸ μὴ τοὺς ἐξ αὐτοῦ γεγονότας μόνον ἀγαπᾶν, ἀλλὰ καὶ τοὺς ἔξωθεν. Ἃ δὲ ἡμῖν παρήγγειλε πολὺ πρότερον αὐτὸς ἐποίει.

9. Εἰ εἰς μηδὲν ἔχρῃζε τῆς σαρκός, τί καὶ ἐθεράπευσεν αὐτήν; Καί, τὸ πάντων ἰσχυρότατον, νεκροὺς ἀνέστησε. Τίνος ἕνεκεν; Οὐχ ἵνα δείξῃ τὴν ἀνάστασιν οἵα μέλλει γίνεσθαι; Πῶς οὖν τοὺς νεκροὺς ἀνέστησε; Πότερον τὰς ψυχὰς ἢ τὰ σώματα; Ἀλλὰ δῆλον ὅτι ἀμφότερα. Εἰ δὲ ἦν πνευματικὴ μόνη ἡ ἀνάστασις, ἐχρῆν ἀναστάντα αὐτὸν κατ' ἰδίαν μὲν δεῖξαι τὸ σῶμα κείμενον, κατ' ἰδίαν δὲ τὴν ψυχὴν ὑπάρχουσαν. Νῦν δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, ἀνέστησε δὲ τὸ σῶμα, τῆς ζωῆς τὴν ἐπαγγελίαν ἐν αὐτῷ πιστούμενος. Τίνος οὖν ἕνεκεν τῇ σαρκὶ τῇ παθούσῃ ἀνέστη, εἰ μὴ ἵνα δείξῃ τὴν σαρκικὴν ἀνάστασιν; Καὶ τοῦτο βουλόμενος πιστοποιῆσαι, τῶν μαθητῶν αὐτοῦ μὴ πιστευόντων εἰ ἀληθῶς σώματι ἀνέστη, βλεπόντων αὐτῶν καὶ

bestias, y si fuera necesario morir por sus crías, aceptarían sufrirlo. Pero si alguien hiciera las mismas cosas por los esclavos, este sería justamente llamado bueno. Por esto también el Salvador nos enseñó a amar a los enemigos, pues si no ¿qué gracia hay en vosotros? Dicen: Hasta tal punto nos ha mostrado que es una buena obra amar no solo a los que han nacido de Él, sino también a los de afuera. Las cosas que nos ordenó, Él las hizo mucho antes.

9. Si no hubiera necesitado para nada la carne, ¿por qué la sanó? Y, lo que es más poderoso que todo, resucitó a los muertos. ¿Por qué razón? ¿No fue para que mostrase lo que la resurrección habría de ser? En efecto, ¿cómo resucitó a los muertos? ¿A cuál de los dos: a las almas o a los cuerpos? Es evidente que a ambos. Pues si la resurrección fuera solamente espiritual sería necesario que Él, al resucitarlos, mostrara por un lado al cuerpo yaciendo separadamente, y por otro lado al alma existiendo separadamente. Pero ahora no hizo esto, sino que resucitó el cuerpo, confirmando en él la promesa de vida. Ciertamente, ¿por qué razón resucitó a la carne en la que sufrió, sino para que demostrase la resurrección de la carne? Y queriendo confirmar esto, cuando sus discípulos no creían que resucitó verdaderamente con un cuerpo, y lo miraban y dudaban, les dijo: *¿Todavía no tenéis fe? Ved, soy yo*[xvii]. Y les dio libertad para que lo tocaran, y les mostró las

| | |
|---|---|
| δισταζόντων, εἶπεν αὐτοῖς· Οὔπω ἔχετε πίστιν; φησίν. Ἴδετε ὅτι ἐγώ εἰμι. Καὶ ψηλαφᾶν αὐτὸν ἐπέτρεπεν αὐτοῖς, καὶ τοὺς τύπους τῶν ἥλων ἐν ταῖς χερσὶν ἐπεδείκνυε. Καὶ πανταχόθεν αὐτὸν κατανοήσαντες, ὅτι αὐτός ἐστι καὶ ἐν τῷ σώματι, παρεκάλεσαν αὐτὸν φαγεῖν μετ' αὐτῶν, ἵνα καὶ διὰ τούτου βεβαίως μάθωσιν ὅτι ἀληθῶς σαρκικῶς ἀνέστη. Καὶ ἔφαγε κηρίον καὶ ἰχθύν. Καὶ οὕτως ἐπιδείξας αὐτοῖς ὅτι ἀληθῶς σαρκὸς ἀνάστασίς ἐστι, βουλόμενος ἐπιδεῖξαι καὶ τοῦτο (καθὼς εἴρηκεν ἐν οὐρανῷ τὴν κατοίκησιν ἡμῶν ὑπάρχειν) ὅτι οὐκ ἀδύνατον καὶ σαρκὶ εἰς οὐρανὸν ἀνελθεῖν, ἀνελήφθη βλεπόντων αὐτῶν εἰς τὸν οὐρανόν, ὡς ἦν ἐν τῇ σαρκί. Οὐκοῦν, εἴ τις ἀπαιτεῖ μετὰ πάντα τὰ προειρημένα λόγους ἀποδεικτικοὺς περὶ ἀναστάσεως, οὐδὲν τῶν Σαδδουκαίων διαφέρει· ἐπειδὴ ἡ ἀνάστασις τῆς σαρκὸς δύναμις Θεοῦ ἐστι καὶ ὑπεράνω λόγου παντός, βεβαιουμένη μὲν πίστει, θεωρουμένη δὲ ἔργοις. | marcas de los clavos en las manos. Cuando comprendieron absolutamente que era Él, y en el cuerpo, lo invitaron a comer con ellos, para por medio de esto también comprobar seguramente que de verdad resucitó carnalmente. Y comió un panal de miel y pescado, y así les demostró que verdaderamente hay resurrección de la carne, queriendo demostrar también esto (cuando dijo que nuestra morada está en el cielo): que no es imposible que también la carne sea elevada al cielo – *y mientras ellos lo estaban mirando fue llevado hacia el cielo* – puesto que [Él] estaba en la carne. Por consiguiente, si después de todas las cosas que se han dicho antes alguno reclama argumentos demostrativos acerca de la resurrección, no se diferencia en nada de los Saduceos, ya que la resurrección de la carne es poder de Dios y está por encima de todo razonamiento, asegurada por la fe por una parte, y por otra, contemplada en las obras. |
| 10. Ἀνάστασίς ἐστι τοῦ πεπτωκότος σαρκίου· πνεῦμα γὰρ οὐ πίπτει. Ψυχὴ ἐν σώματί ἐστιν, οὐ ζῇ δὲ ἄψυχον· σῶμα, ψυχῆς ἀπολειπούσης, οὐκ ἔστιν. Οἶκος γὰρ τὸ σῶμα ψυχῆς, πνεύματος δὲ ψυχὴ οἶκος. Τὰ τρία δὲ ταῦτα τοῖς ἐλπίδα εἰλικρινῆ καὶ πίστιν ἀδιάκριτον ἐν τῷ Θεῷ ἔχουσι σωθήσεται. Θεωροῦντες γοῦν καὶ τοὺς κοσμικοὺς λόγους, καὶ κατ' αὐτοὺς οὐχ εὑρίσκοντες ἀδύνατον ὑπάρχειν τῇ σαρκὶ τὴν παλιγγενεσίαν, καὶ ἐπὶ | 10. La resurrección es la de la carne que ha muerto, pues el espíritu no perece. El alma está en un cuerpo, y sin alma no vive; un cuerpo, cuando el alma lo deja, no lo es. Pues el cuerpo es la casa del alma, y el alma la del espíritu. Estas tres serán salvadas en aquellos que tienen una esperanza pura y una fe inequívoca en Dios. En efecto, considerando los argumentos mundanos, no encontrando que según ellos sea imposible la regeneración para la |

| | |
|---|---|
| τούτοις πᾶσι τὸν σωτῆρα διὰ παντὸς τοῦ εὐαγγελίου δεικνύντα τὴν τῆς σαρκὸς ἡμῶν σωτηρίαν, τί λοιπὸν ἀνεχόμεθα τῶν ἀπίστων καὶ σκανδάλων λόγων, καὶ λανθάνομεν ἑαυτοὺς ἐπιστρέφοντες εἰς τοὐπίσω, ὁπόταν ἀκούσωμεν ὅτι ἡ μὲν ψυχὴ ἀθάνατός ἐστι, τὸ δὲ σῶμα φθαρτὸν καὶ οὐκέτι δυνάμενον ἀναζῆσαι; Ταῦτα γὰρ καὶ πρὸ τοῦ μαθεῖν τὴν ἀλήθειαν παρὰ Πυθαγόρου καὶ Πλάτωνος ἠκούομεν. Εἰ οὖν ταῦτα ἔλεγεν ὁ Σωτὴρ καὶ μόνης τῆς ψυχῆς τὴν ζωὴν εὐηγγελίζετο, τί καινὸν ἡμῖν ἔφερε παρὰ Πυθαγόραν καὶ Πλάτωνα καὶ τὸν τούτων χορόν; Νῦν δὲ τὴν καινὴν καὶ ξένην εὐαγγελιζόμενος ἦλθεν ἀνθρώποις ἐλπίδα. Ξένον δὲ ἄρα ἦν καὶ καινὸν τὸ τὸν Θεὸν ὑπισχνεῖσθαι μὴ τῇ ἀφθαρσίᾳ τὴν ἀφθαρσίαν τηρεῖν, ἀλλὰ τὴν φθορὰν ἀφθαρσίαν ποιεῖν. Ἀλλὰ γὰρ οὐκ ἄλλως λυμαίνεσθαι τὸν λόγον δυνάμενος ὁ τῆς πονηρίας ἄρχων ἐξέπεμψε τοὺς ἀποστόλους αὐτοῦ, κακὰς καὶ λοιμώδεις διδασκαλίας εἰσάγοντας, ἐκλεξάμενος αὐτοὺς ἐκ τῶν σταυρωσάντων τὸν Σωτῆρα ἡμῶν, οἵτινες τὸ μὲν ὄνομα τοῦ Σωτῆρος ἔφερον, τὰ δὲ ἔργα τοῦ πέμψαντος αὐτοὺς ἐποίουν, δι᾽ οὓς καὶ τῷ ὀνόματι ἠκολούθησεν ἡ βλασφημία. Εἰ δὲ μὴ ἀνίσταται ἡ σάρξ, διὰ τί καὶ φυλάσσεται καὶ οὐ μᾶλλον αὐτῇ συγχωροῦμεν χρήσασθαι ταῖς ἐπιθυμίαις, καὶ οὐ μιμούμεθα τοὺς ἰατρούς, οἵτινες, ἐπειδὰν ἀπεγνωσμένον ἔχωσιν ἄνθρωπον σώζεσθαι μὴ δυνάμενον, ἐπιτρέπουσιν αὐτῷ ταῖς ἐπιθυμίαις ὑπηρετεῖν; Ἴσασι γὰρ ὅτι ἀπόλλυται. | carne, y por éstos demostrando el Salvador completamente a todos por el Evangelio la salvación de nuestra carne, ¿por qué, por lo demás, nos mantenemos en argumentos infieles y arteros e ignoramos que volvemos atrás cuando escuchamos que el alma es inmortal, pero que el cuerpo es corruptible y no puede ser resucitado? Pues estas cosas también las escuchamos, antes de conocer la Verdad, de Pitágoras y de Platón. Si, pues, el Salvador dijo estas cosas y predicó la subsistencia del alma solamente, ¿qué novedad nos aportó más allá de [lo que dijeron] Pitágoras y Platón y los que los siguen? Pero ahora Él vino predicando a los hombres la nueva y extraña esperanza. En verdad, era extraño y novedoso para Dios el prometer que no guardaría la incorrupción en incorrupción, sino que haría incorrupción a la corrupción. Pero como el príncipe de la maldad no era capaz de perjudicar de otro modo la Palabra, envió a sus apóstoles, que introdujeron enseñanzas perversas y pestilentes, escogiéndolos de entre los que crucificaron a nuestro Salvador, los cuales llevaban el nombre del Salvador pero hacían las obras del que los envió, por causa de los cuales la blasfemia siguió al nombre[xviii]. Si la carne no resucita, ¿por qué la cuidamos y no consentimos en entregarla a los deseos? ¿Por qué no imitamos a los médicos, los cuales, cuando tienen un hombre desahuciado que no puede ser curado, le dan plena libertad para satisfacer sus deseos, pues saben que ha de morir? Lo cual ciertamente hacen |

| | |
|---|---|
| Ὅπερ ἀμέλει ποιοῦσιν οἱ τὴν σάρκα μισοῦντες, ἐκβάλλοντες αὐτὴν τῆς κληρονομίας, τὸ ὅσον ἐπ' αὐτοῖς· διὰ τοῦτο γὰρ καὶ ὡς νεκρὰν ἐσομένην ἀτιμάζουσιν αὐτήν. Εἰ δὲ ὁ ἡμέτερος ἰατρὸς Ἰησοῦς ὁ Χριστός, ἀπὸ τῶν ἐπιθυμιῶν ἡμῶν ἀποσπάσας, διαιτᾶται τῇ κατ' αὐτὸν σώφρονι καὶ ἐγκρατεῖ διαίτῃ τὴν σάρκα ἡμῶν, δῆλον ὡς ἐλπίδα σωτηρίας ἔχουσαν ἀπὸ τῶν ἁμαρτημάτων αὐτὴν φυλάσσει, καθάπερ τοὺς ἐλπίδα σωτηρίας ἔχοντας ἀνθρώπους οἱ ἰατροὶ οὐκ ἐῶσιν ὑπηρετεῖν ταῖς ἡδοναῖς. | aquellos que odian la carne, expulsándola de la herencia tanto como ellos [puedan]; pues a causa de esto también la desprecian, porque habrá de morir. Pero si nuestro médico, Jesús el Cristo, que nos alejó de nuestros deseos, dirige nuestra carne con su propio gobierno prudente y moderado, es evidente que Él la guarda de los pecados porque tiene esperanza de salvación, así como los médicos no permiten a los hombres que tienen esperanza de [recuperar] la salud entregarse a los placeres. |

## Notas

[i] *Evangelio según San Marcos* XII, 25:

ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς.
Pues cuando resuciten de entre los muertos ni se casarán ni se darán en casamiento, sino que serán como los ángeles en los cielos.

[ii] Referencia a los docetistas.

[iii] Es decir, la promesa de la resurrección.

[iv] Referencia a Satanás, a quien Jesús llama "*el príncipe del mundo*" (ὁ τοῦ κόσμου ἄρχων) en el *Evangelio según San Juan* XIV, 30.

[v] *Evangelio según San Lucas* XX, 35-36:

(35) οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν οὔτε γαμοῦσιν οὔτε γαμίζονται· (36) οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγελοι γάρ εἰσι καὶ υἱοί εἰσι Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες.
(35) Pero los que son juzgados dignos de alcanzar aquel siglo y la resurrección de entre los muertos ni se casan ni son dados en casamiento, (36) pues ya no pueden morir; son iguales a los ángeles e hijos de Dios al ser hijos de la resurrección.

[vi] El autor utiliza aquí el mismo razonamiento que expusiera Gregorio de Nisa en *De Mortuis* XVIII:

Μὴ τοίνυν κακιζέσθω παρὰ τῶν ἀπερισκέπτων τὸ σῶμα, ᾧ μετὰ ταῦτα διὰ τῆς παλιγγενεσίας μεταστοιχειωθέντι πρὸς τὸ θειότερον ἡ ψυχὴ καλλωπίσεται τὰ περιττά τε καὶ ἄχρηστα ὡς πρὸς τὴν ἀπόλαυσιν τῆς μελλούσης ζωῆς τοῦ θανάτου ἀποκαθάραντος. Οὐ γὰρ πρὸς ἃ νῦν ἐπιτηδείως ἔχει τὰ αὐτὰ καὶ ἐν τῷ μετὰ ταῦτα χρησιμεύει βίῳ, ἀλλ' οἰκεία καὶ κατάλληλος ἔσται τῇ ἀπολαύσει τῆς ζωῆς ἐκείνης ἡ τοῦ σώματος ἡμῶν παρασκευὴ ἁρμοδίως πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν διατεθεῖσα. Οἷόν τι λέγω (κρεῖττον γὰρ ὑποδείγματι τῶν γνωρίμων τινὶ διασαφηνίσαι τὸ νόημα)· ἡ τοῦ σιδήρου βῶλος χρησιμεύει τῇ χαλκευτικῇ τέχνῃ καὶ ἀκατέργαστος ἄκμων γενομένη τοῦ τεχνιτεύοντος. Ἀλλ' ὅταν δέῃ πρός τι λεπτότερον μετεργασθῆναι τὸν σίδηρον, τότε δι' ἐπιμελείας τὴν βῶλον τοῦ πυρὸς ἐκκαθάραντος, ἅπαν ἀποτίθεται τὸ γεῶδες καὶ ἄχρηστον, ὃ δὴ σκωρίαν οἱ τεχνῖται τῆς ἐργασίας ταύτης κατονομάζουσι, καὶ οὕτως ὁ ποτὲ ἄκμων λεπτουργηθεὶς ἢ θώραξ ἢ ἄλλο τι τῶν λεπτῶν κατασκευασμάτων ἐγένετο τοῦ τοιούτου περιττώματος ἐκκαθαρθεὶς διὰ τῆς χωνείας, ὅπερ ἕως ὅτε ἄκμων ἦν οὐκ ἐνομίζετο πρὸς τὴν τότε χρείαν εἶναι περίττωμα. Συνετέλει γάρ τι καὶ ἡ σκωρία πρὸς τὸν ὄγκον τοῦ σιδήρου ἐγκαταμεμιγμένη τῇ βώλῳ. Εἰ δὴ νενόηται ἡμῖν τὸ ὑπόδειγμα, μετακτέον ἤδη πρὸς τὸ προκείμενον νόημα τὴν ἐν τῷ ὑποδείγματι θεωρηθεῖσαν διάνοιαν.
Τί οὖν ἐστι τοῦτο; Πολλὰς ἔχει νῦν σκωριωδεῖς ποιότητας ἡ τοῦ σώματος φύσις, αἳ κατὰ μὲν τὴν παροῦσαν ζωὴν πρός τι χρήσιμον συντελοῦσιν, ἀχρήστως δὲ παντάπασι καὶ ἀλλοτρίως ἔχουσι πρὸς τὴν μετὰ ταῦτα προσδοκωμένην μακαριότητα. Ὅπερ οὖν ἐν τῷ πυρὶ περὶ τὸν σίδηρον γίνεται τὸ ἄχρηστον ἅπαν τῆς χωνείας ἀποποιούσης, τοῦτο διὰ τοῦ θανάτου κατορθοῦται τῷ σώματι παντὸς περιττώματος ἀποποιουμένου διὰ τῆς ἐν τῷ νεκρότητι λύσεως.

Por tanto, que los irreflexivos no injurien al cuerpo, el cual, después de esta vida, será transformado y el alma será embellecida conforme a lo divino, purificándose por la muerte de las cosas superfluas e inútiles para el disfrute de la vida venidera. Pues las cosas que ahora tienen utilidad no son igualmente útiles en la vida futura, sino que la disposición de nuestro cuerpo será afín y

correspondiente para el goce de aquella vida, convenientemente dispuesta a la participación del bien. Por ejemplo (pues lo mejor es esclarecer la inteligencia con un ejemplo conocido): el lingote de hierro no elaborado también es útil para el oficio del forjador como yunque del artesano. Pero cuando el hierro necesita ser trabajado para elaborar algo más fino, entonces el lingote es purificado mediante la acción del fuego, quitándole todo lo terroso e inútil, aquello que los artesanos de esta profesión denominan escoria. Así, trabajado delicadamente, el [lingote] que una vez fuera usado como un yunque llega a ser una coraza o algún otro objeto fino, purificado de tal residuo mediante la fundición. Mientras que era usado como yunque, esta escoria no era considerada un residuo, pues la escoria mezclada en el lingote también contribuye en algo al volumen del hierro. Si hemos comprendido el ejemplo, transfiramos ahora a la reflexión propuesta el sentido contemplado en el ejemplo.
Pues bien, ¿qué significa esto? Al presente la naturaleza del cuerpo tiene muchas cualidades que se parecen a la escoria, las cuales ciertamente contribuyen a algo provechoso a lo largo de la vida presente, pero son absolutamente inútiles e incompatibles en relación a la felicidad que se espera después de ésta. Al igual que en el hierro todo lo superfluo es quitado en el fuego de la fundición, así también mediante la muerte se purifica al cuerpo, quitándose todo residuo por la disolución del cadáver.

[vii] *Evangelio según San Mateo* XI, 5:

τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται·
Los ciegos recobran la vista y los cojos andan, los leprosos son limpiados y los sordos oyen, los muertos son resucitados y a los pobres se les anuncian las buenas nuevas.

*Evangelio según San Lucas* VII, 22:

καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται·
Respondiéndoles, Jesús les dijo: Id y contadle a Juan las cosas que visteis y oísteis: los ciegos recobran la vista, los cojos andan, los leprosos son limpiados, los sordos oyen, los muertos son resucitados y a los pobres se les anuncian las buenas nuevas.

[viii] Tal era el argumento que el filósofo pagano Celso sostenía, en contra de la posibilidad de la resurrección, en su disputa con Orígenes de Alejandría.

[ix] Es posible que esta cita de Homero sea una paráfrasis del canto XVI, 211-212 de *La Odisea*:

ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.
… fácil es a los dioses que habitan el cielo anchuroso
dar honor a un mortal o abatirlo, según su deseo.

[x] Cf. *Salmo* CXV, 5 (CXIII, 13 en la *Septuaginta*)

στόμα ἔχουσιν καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσιν καὶ οὐκ ὄψονται
Tienen boca pero no hablan, tienen ojos pero no ven.

[xi] *Salmo* XCVI, 5 (XCV, 5 en la *Septuaginta*)

ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν·
Todos los dioses de las naciones son demonios, pero el Señor hizo los cielos.

[xii] El término "físicos" (φυσικοί) alude aquí a los filósofos naturalistas.

[xiii] El autor recurre aquí a la misma analogía que sobre este tema utilizara Gregorio de Nisa en *Oratio Catechetica Magna* VIII, 7:

Δεδόσθω τι σκεῦος ἐκ πηλοῦ συνεστηκέναι, τοῦτο δὲ πλῆρες ἔκ τινος ἐπιβουλῆς γεγενῆσθαι τετηκότος μολίβδου, τὸν δὲ μόλιβδον ἐγχεθέντα παγῆναι καὶ μένειν ἀπρόχυτον, ἀντιποιεῖσθαι δὲ τοῦ σκεύους τὸν κεκτημένον, ἔχοντα δὲ τοῦ κεραμεύειν τὴν ἐπιστήμην περιθρύψαι τῷ μολίβδῳ τὸ ὄστρακον· εἶθ' οὕτως πάλιν κατὰ τὸ πρότερον σχῆμα πρὸς τὴν ἰδίαν ἑαυτοῦ χρῆσιν ἀναπλάσαι τὸ σκεῦος, κενὸν τῆς ἐμμιχθείσης ὕλης γενόμενον. Οὕτως οὖν καὶ ὁ τοῦ ἡμετέρου σκεύους πλάστης, τῷ αἰσθητικῷ

μέρει, τῷ κατὰ τὸ σῶμά φημι, τῆς κακίας καταμιχθείσης, διαλύσας τὴν παραδεξαμένην τὸ κακὸν ὕλην, πάλιν ἀμιγὲς τοῦ ἐναντίου διὰ τῆς ἀναστάσεως ἀναπλάσας, πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ἀναστοιχειώσει τὸ σκεῦος.

Pongamos por caso una vasija hecha de arcilla: por obra de alguna mala voluntad está llena de plomo fundido; pero el plomo, apenas vertido, se ha solidificado y queda ya sin poderse derramar. Entonces el propietario se hace devolver la vasija y, como sabe el arte de la alfarería, rompe el casco alrededor del plomo, y así, luego, remodela otra vez la vasija según su primera forma y para su utilización propia, una vez vaciada de aquella materia mezclada en ella. Pues así también el alfarero de nuestra vasija, por haberse mezclado la maldad a nuestra parte sensible, quiero decir al elemento corporal: después de disolver la materia que había recibido el mal y de remodelar otra vez, mediante la resurrección, la vasija, sin mezcla de contrarios, la reconstruirá con sus elementos devueltos a su belleza primordial.

[xiv] *Génesis* I, 26:

καὶ εἶπεν ὁ θεός Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.
Y dijo Dios: Hagamos al hombre a nuestra imagen y semejanza, y que señoree sobre los peces del mar y las aves del cielo y las bestias y sobre toda la tierra, y sobre todas las criaturas que se arrastran sobre la tierra.

[xv] *Génesis* II, 7:

καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.
Y formó Dios al hombre de polvo de la tierra e insufló en su persona aliento de vida, y el hombre se convirtió en un alma viviente.

[xvi] *Evangelio según San Marcos* II, 17:

καὶ ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς· οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλούς εἰς μετάνοιαν.
Oyéndolo, Jesús les dijo: Los que están sanos no tienen necesidad de médico, sino los enfermos. No vine a llamar a los justos, sino a los pecadores al arrepentimiento.

[xvii] Cf. *Evangelio según San Lucas* XXIV, 38-39:

(38) καὶ εἶπεν αὐτοῖς· τί τεταραγμένοι ἐστέ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; (39) ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτός ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.
(38) Les dijo: ¿Por qué estáis turbados, y por qué surgen dudas en vuestros corazones? (39) Ved mis manos y mis pies, que soy yo mismo; tocadme y ved, porque un espíritu no tiene carne ni huesos como veis que yo tengo.

[xviii] I.e., el nombre de Cristo.